14 ἐγώ εἰμι. [14] καὶ εἶπεν αὐτῷ Δαυιδ Πῶς οὐκ ἐφοβήθης ἐπενεγκεῖν
15 χεῖρά σου διαφθεῖραι τὸν χριστὸν κυρίου; [15] καὶ ἐκάλεσεν Δαυιδ
ἓν τῶν παιδαρίων αὐτοῦ καὶ εἶπεν Προσελθὼν ἀπάντησον αὐτῷ·
16 καὶ ἐπάταξεν αὐτόν, καὶ ἀπέθανεν. [16] καὶ εἶπεν Δαυιδ πρὸς αὐτόν
Τὸ αἷμά σου ἐπὶ τὴν κεφαλήν σου, ὅτι τὸ στόμα σου ἀπεκρίθη
κατὰ σοῦ λέγων ὅτι Ἐγὼ ἐθανάτωσα τὸν χριστὸν κυρίου.
17 [17] Καὶ ἐθρήνησεν Δαυιδ τὸν θρῆνον τοῦτον ἐπὶ Σαουλ καὶ ἐπὶ
18 Ιωναθαν τὸν υἱὸν αὐτοῦ [18] καὶ εἶπεν τοῦ διδάξαι τοὺς υἱοὺς Ιουδα
— ἰδοὺ γέγραπται ἐπὶ βιβλίου τοῦ εὐθοῦς —

19 [19] Στήλωσον, Ισραηλ, ὑπὲρ τῶν τεθνηκότων ἐπὶ τὰ ὕψη σου
τραυματιῶν·
πῶς ἔπεσαν δυνατοί.
20 [20] μὴ ἀναγγείλητε ἐν Γεθ
καὶ μὴ εὐαγγελίσησθε ἐν ταῖς ἐξόδοις Ἀσκαλῶνος,
μήποτε εὐφρανθῶσιν θυγατέρες ἀλλοφύλων,
μήποτε ἀγαλλιάσωνται θυγατέρες τῶν ἀπεριτμήτων.
21 [21] ὄρη τὰ ἐν Γελβουε,
μὴ καταβῇ δρόσος καὶ μὴ ὑετὸς ἐφ᾽ ὑμᾶς καὶ ἀγροὶ ἀπαρχῶν,
ὅτι ἐκεῖ προσωχθίσθη θυρεὸς δυνατῶν,
θυρεὸς Σαουλ οὐκ ἐχρίσθη ἐν ἐλαίῳ.
22 [22] ἀφ᾽ αἵματος τραυματιῶν, ἀπὸ στέατος δυνατῶν
τόξον Ιωναθαν οὐκ ἀπεστράφη κενὸν εἰς τὰ ὀπίσω,
καὶ ῥομφαία Σαουλ οὐκ ἀνέκαμψεν κενή.
23 [23] Σαουλ καὶ Ιωναθαν, οἱ ἠγαπημένοι καὶ ὡραῖοι, οὐ διακεχωρισμένοι,
εὐπρεπεῖς ἐν τῇ ζωῇ αὐτῶν καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐ διεχωρίσθησαν,
ὑπὲρ ἀετοὺς κοῦφοι
καὶ ὑπὲρ λέοντας ἐκραταιώθησαν.
24 [24] θυγατέρες Ισραηλ, ἐπὶ Σαουλ κλαύσατε
τὸν ἐνδιδύσκοντα ὑμᾶς κόκκινα μετὰ κόσμου ὑμῶν,
τὸν ἀναφέροντα κόσμον χρυσοῦν ἐπὶ τὰ ἐνδύματα ὑμῶν.
25 [25] πῶς ἔπεσαν δυνατοὶ ἐν μέσῳ τοῦ πολέμου·

15 προσελθων απαντ. αυτω] προσαγαγετε αυτω και αψασθε αυτου *L*† | αυτον > A† | απεθανεν] εβαλον αυτον επι την γην *L*† || 16 δαυιδ / προς αυτον] tr. *O* || 18 ιουδα] ισραηλ $O^{-376}$†, > $O^{376}$†, pr. ισραηλ και *L*†; + τοξον *O*† || 19 στηλωσον] ακριβασαι *L*† | υπερ(A$L^{p}$† περι) των(> A†) τεθν. / επι τα υψη σου] tr. et σου etiam post τεθν. add. *O*†, επι τα υψη > *L*† | τραυματιων > *O*† || 20 μη αναγγειλητε] αναγγειλατε A† || 21 καταβη M] -βοι B, βητω $A^{r}$, πεσοι εφ υμας μητε *L*† | και μη] μηδε A, μητε *L*† | υετος] + πεσοι *O*† | εφ — απαρχων] επι τα υψη σου ορη θανατου *L*† | προσωχθ.] εξηρθη $L^{p}$† || $24^{2}$] pr. κλαυσατε B†: ex $24^{1}$ repet. | $24^{3}$ χρυσιον A*L*(pr. και)† || $25^{1}$ του > $A^{r}$*L*†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/618 UNIVERSITÄT LEIPZIG